Ακαδημία Αθηνών / Academy of Athens

ἄποια ... τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι *δ ι α τ α γ ῇ* τε καὶ ῥυθμῷ καὶ προτροπῇ. Πρβλ. *τάσσεσθαι, συντάσσεσθαι, σύνταγμα.*

**διατείνειν.** Ἐκτείνομαι πρὸς διάφορες κατευθύνσεις, be extended in various directions, Διογένης 6.6-24 *ἀπὸ τούτων* (sc. *τῶν φλεβῶν*) *καθ' ἅπαν τὸ σῶμα φλέβες δ ι α τ ε ί ν ο υ σ ι ν ... καὶ ἐπὶ τὸν ταρσὸν τοῦ ποδὸς καθήκουσι καὶ ἐντεῦθεν ἐπὶ τοὺς δακτύλους δ ι α τ ε ί ν ο υ σ ι ν.* Πρβλ. *τείνειν, καθήκειν.*

**διατέμνεσθαι.** Διαχωρίζομαι/ἀποκόπτομαι, be separated/cut off, Ἐμπεδοκλῆς 20.4 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα γυῖα, τὰ σῶμα λέλογχε, βίου θαλέθοντος ἐν ἀκμῇ· ἄλλοτε δ' αὖτε κακῇσι δ ι α τ μ η θ έ ν τ' Ἐρίδεσσι πλάζεται ἄνδιχ' ἕκαστα περὶ ῥηγμῖνι βίοιο.* Πρβλ. *διασπᾶσθαι.*

**διατιθέναι.** Διαρρυθμίζω, arrange/settle, Διογένης 5.4 *αὐτὸ γάρ μοι τοῦτο* (sc. *ὁ ἀήρ*) *θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα δ ι α τ ι θ έ ν α ι καὶ ἐν παντὶ ἐνεῖναι.* Πρβλ. *διακεῖσθαι, διακοσμεῖν, διακόσμησις.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**διασσᾶσθαι.** Περνῶ ἀπὸ κόσκινο, sift, Ἐμπεδοκλῆς 4.3 *ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα Μούσης, γνῶθι δ ι α σ σ η θ έ ν τ ο ς ἐνὶ σπλάγχνοισι λόγοιο.*

**διατριβαί.** Πραγματεῖες, studies/treatises, Ἀρχύτας 4 (τίτλ.) *ἐκ τῶν Ἀρχύτου δ ι α τ ρ ι β ῶ ν.*

**διαφέρειν 1.** Διαφέρω, differ, Ἀλκμαίων 1 a *ἄνθρωπον τῶν ἄλλων δ ι α φ έ ρ ε ι ν ὅτι μόνον ξυνίησι, τὰ δ' ἄλλα αἰσθάνεται μέν, οὐ ξυνίησι δὲ* Διογένης 5.16 *ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστὶν ... ἀλλὰ δ ι α φ έ ρ ε ι μέγα μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι* Δημόκριτος 5 i (τίτλ.) *Περὶ τῶν δ ι α φ ε ρ ό ν τ ω ν ῥυσμῶν* <*ἢ Περὶ ἰδεῶν*>. Πρβλ. *διέχειν* **2.** Ὑπερέχω/ὑπερτερῶ, surpass, Δημόκριτος 277.6 *καὶ τοῦτο τοσοῦτον δ ι α φ έ ρ ε ι, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέῃ* Ἀρχύτας 4.2 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνᾶν καὶ πολὺ δ ι α φ έ ρ ε ι ν, ἀτὰρ καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*τᾶς γεωμετρικᾶς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει.* ‖ **διαφέρεσθαι** (ἀντίθ. *συμφέρεσθαι, ὁμολογεῖν*). Ἀντιρρέπω/εἶμαι σὲ ἀντίθεση, counterpoise/be counter, Ἡράκλειτος 10.1 *συλλάψιες ὅλα καὶ οὐχ ὅλα, συμφερόμενον διαφερόμενον συνᾷδον διᾷδον* 51 *οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῷ συμφέρεται* 72.2 *ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι τούτῳ διαφέρονται.*

**διαφεύγειν.** Ξεφεύγω/γλυτώνω, escape, Δημόκριτος 239 *ὅρκους οὓς ποιέονται ἐν ἀνάγκῃσιν ἐόντες οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.* Πρβλ. *διαφυγγάνειν.*

**διαφθείρεσθαι** (συνών. *καταφθείρεσθαι, ἀπόλλυσθαι*, ἀντίθ. *σῴζεσθαι*). Καταστρέφομαι, be destroyed, Δημόκριτος 228.8 *οἱ τῶν φειδωλῶν παῖδες ... ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου ... φιλέουσι διαφθείρεσθαι* 252.6-7 *καὶ τούτου σῳζομένου πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.* Πρβλ. *διασπᾶν, ἐκλείειν.*

**διαφορή.** Διαφορά, difference, Δημόκριτος 111 (τίτλ.) *Περὶ διαφορῆς γνώμης ἢ Περὶ ψαύσιος κύκλου καὶ σφαίρης.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**διαφυγγάνειν.** Ξεφεύγω/δὲν γίνομαι ἀντιληπτός, escape/not be noticed, Ἡράκλειτος 86 *τῶν μὲν θείων τὰ πολλὰ ἀπιστίῃ διαφυγγάνει μὴ γιγνώσκεσθαι.* Πρβλ. *διαφεύγειν.*

**διαφύεσθαι.** Διαχωρίζομαι, be divided, Ἐμπεδοκλῆς 17.2-5-10, 26.9 *τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι ... ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα διέπτη ... ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι.* Πρβλ. *διακρίνεσθαι, φύεσθαι.*

**διαχέεσθαι.** Διαχύνομαι, overflow, Ἡράκλειτος 31 *θάλασσα διαχέεται.*

**δίγονος.** Ἱκανὴ γιὰ νὰ γεννᾶ στὸν ἕβδομο ἢ στὸν ἔνατο μήνα, capable bearing in the seventh or ninth month, Ἐμπεδοκλῆς 69 *διὸ καὶ τὰς γυναῖκας καλεῖ διγόνους.* Πρβλ. *γόνος, ὀψίγονος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ